dens/& vociferans,ob violentiam caſus
impotens reddita eſt cornuū arietis:quę vęhementer
compħenderat:& decidit in pelagus. Ner. Igitur
oportebat matrē Nephelen auxiliari cadenti. N.
Oportebat quidē:ſʒ fatum Nephele potentius eſt.

Iridis. & Neptuni. IRIS.

Inſulam errantem Neptune,ſepara-
tam a Sicilia,ſubmarinā,emergere contingit.
hanc ait Iupit,firmā ſiſte mō:atqȝ cura ut appeat:faci-
toqȝ eam Delon in AEgeo medio firmiter manere:
ſtabiliens valde ſecure.indiget em̄ in aliquo ipſa. N.
Paulopoſt fiet hoc Iris.Ve℞tn̄ quam prębebit ipſi
utilitatē apparens/& nō amplius natās? I. Latonā
in ipa oportet partū deponere.iā em̄ laborat:ob
grauedīes. N. nūqd igit nō ſufficit illi cęlū ad ꝑtū?
Si ꝟo neqȝ hoc:equidē tota tellus num ſuſcipere
poſſet ipius liberos? I. Nō Neptune.Iuno em̄
iuramēto magno aſtrīxit terrā:ne ſe exhibeat Latonę
grauedinū miſtrā.hęc igit īſula ipa/nō addicta iuram̄
eo qꝑ tū neutiqȝ apparuerit. N. Intelligo. (to eſt:
& emerge rurſus ex ꝓfūdo:nec āplius (Siſte o īſula:
o (ſubſidas:

ἀλλὰ βεβαίως μένε, καὶ ὑπόδεξαι ὦ εὐδαιμονεστάτη τοῦ ἀδελφοῦ τὰ τέκνα δύο τοὺς καλλίστους τῶν θεῶν, καὶ ὑμεῖς ὦ τρίτωνες, διαπορθμεύσατε τὴν λητὼ ἐς αὐτήν, καὶ γαληνὰ ἅπαντα ἔστω· δράκοντα δὲ ὃς νῦν ἐξοιστρεῖ, αὐτὴν φοβῶν τὰ νεογνὰ, ἐπειδὰν τεχθῇ αὐτίκα μέτεισι, καὶ τιμωρήσει τῇ μητρί· σὺ δὲ ἀπάγγελε τῷ διῒ, πάντα εἶναι εὐπρεπῆ, ἕστηκεν ἡ δῆλος, ἡκέτω ἡ λητὼ, καὶ τικτέτω.

Ξάνθου, καὶ θαλάσσης. ΞΑΝΘΟΣ.

Δέξαι με ὦ θάλασσα δεινὰ πεπονθότα, κατάσβεσόν μου τὰ τραύματα. Θ. τί τοῦτο ὦ ξάνθε; τίς σε κατέκαυσεν;

Ξ. ἥφαιστος, ἀλλ᾽ ἀπηνθράκωμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω. Θ. διατί δέ σοι ἐνέβαλε τὸ πῦρ;

Ξ. διὰ τὸν υἱὸν τῆς θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς φρύγας, ἱκέτευσα· ὁ δ᾽ οὐκ ἐπαύσατο τῆς ὀργῆς, ἀλλ᾽ ὑπὸ τῶν νεκρῶν ἀπέφραττέ μοι τὸν ῥοῦν· ἐλεήσας τοὺς ἀθλίους, ἐπῆλθον ἐπικλύσαι θέλων, ὡς φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν· ἐνταῦθα ὁ ἥφαιστος ἔτυχε γὰρ πλησίον που ὢν, πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ αἴτνῃ καὶ εἴποθι ἄλλοθι, φέρων, ἐπῆλθέ μοι, καὶ ἔκαυσε μὲν τὰς πτελέας καὶ μυρίκας, ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλυας· αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται· ὁρᾷς δὲ οὖν ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων; Θ. θολερὸς ὦ ξάνθε καὶ θερμὸς, ὡς εἰκός· τὸ αἷμα μὲν ἀπὸ τῶν νεκρῶν, ἡ θέρμη δὲ ὡς φὴς ἀπὸ τοῦ πυρός· καὶ εἰκότως ὦ ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι νηρεῖδος υἱὸς ἦν. Ξ. οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς φρύγας; Θ. τὸν ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι θέτιδος υἱὸν ὄντα τὸν ἀχιλλέα.

sed firma mane: ac suscipe o fœlicissima,
fratris mei liberos duos pulcherrimos Deorum. Et vos o Tritones, peruehite Latonam in ipsam: tranquillaq́ sint omnia. Draconem vero, q nūc furit ipā pterrēs, ac nouit genitos, ubi peperit: ptinus adoriēt puuli: ac puniēt p mr̄e. Tu vo n̄ūcia Ioui, oīa probe eē acta. stetit Delos: venitq́ Latona: & pepit.

Xanthi. & Maris. XANTHVS

Suscipe mare grauia passum: sana mihi vulnera. M. Quid hoc est o Xanthe? qs te ɔbussit? X. Vulcanus. Sȝ ardeo a prunis prorsus infœlix, atq́ ɔburor. M. Verꝝ quāobrē tibi iniecit ignē? X. Propt Achillē Thetidis filiū. nā cū ille intimeret Phryges: supplex illū rogaui. at ille nō cessauit ab ira: p̄ mortuis corpibus obturauit mihi alueū. at ego misȝtus sū missȝos: subijtq́ ī mētē / ut eū submergerē: q̄ tritus abstineret a viris troiāis. Illic tū Vulc. erat ppe alicubi exn̄s. oēȝ prsus, ut puto, ignē tūc sit ille hēbat: q̄ntū in Aetna & alibi eēt ferens / iniecit mihi: ɔbussitq́ ulmos / & myrricas: ac intfecit infœlices pisces / atq́ anguillas. At ipm quidē me exilire fecit. parū q̊q́ abfuit, ut nō ītegrę aridus rdderer. Vides vero / quomō iaceo propter inustiones? T. turbidus es o Xāthe, & calidus, ut par ē, sāguis qdē a mortuis est: calor vo, ut ais, ab igne. Et merito o Xanthe, qui cōtra meū gnatū cōiurasti: nō veritus / q Nereidis filius erat. X. Nū optuit me misereri ppīquorꝝ Phrygū? M. At Vulcanū misereri optuit Thetidis filij Achillis.

τί δακρύεισ ὦ Θέτι; Θ. καλλίστην ὦ Δωρὶ κόρην εἶδον ἐσ κιβωτὸν ὑπὸ τοῦ πατρὸσ ἐμβληθεῖσαν· αὐτήν τε καὶ βρέφοσ αὐτῆσ ἀρτι γέννητον ἐκέλευσε δὲ ὁ πατὴρ, τοὺσ ναύτωσ ἀναλλαβόντασ τὸ κιβώτιον, ἐπειδ' ἂν πολὺ ἀπὸ τῆσ γῆσ ἀποσπάσωσιν, ἀφεῖναι ἐσ τὴν θάλασσαν, ὡσ ἀπόλοιτο ἡ ἀθλία καὶ αὐτὴ καὶ τὸ βρέφοσ. Δ. τίνοσ δ' ἕνεκα ὦ ἀδελφή; ἐπεὶ ἔμαθεσ ἀκριβῶσ ἅπαντα.

Θ. Ἀκρίσιοσ ὁ πατὴρ αὐτῆσ, καλλίστην οὖσαν ἐπαρθένευεν, εἰσ χαλκοῦν τινὰ θάλαμον ἐμβαλών. εἶτα, τὸ μὲν ἀληθὲσ οὐκ ἔχω εἰπεῖν, φασὶ δ' οὖν τὸν Δία χρυσὸν γενόμενον, ῥυῆναι διὰ τοῦ ὀρόφου ἐπ' αὐτήν, δεξαμένην δ' ἐκείνην ἐσ τὸν κόλπον καταῤῥέοντα τὸν θεὸν, ἐγκύμονα γενέσθαι, τοῦτο αἰσθόμενοσ ὁ πατὴρ ἄγριόσ τισ καὶ ζηλότυποσ γέρων, ἠγανάκτησε, καὶ ὑπό τινοσ μεμοιχεῦσθαι οἰηθεὶσ αὐτὴν, ἐμβάλλει ἐσ τὴν κιβωτὸν ἄρτι τετοκυῖαν. Δ. ἡ δὲ τί ἔπραττεν ὦ Θέτι, ὁπότε καθίκετο; Θ. ὑπὲρ αὐτῆσ μὲν ἐσίγα ὦ Δωρὶ, καὶ ἔφερε τὴν καταδίκην, τὸ βρέφοσ δὲ παρῃτεῖτο μὴ ἀποθανεῖν, δακρύουσα, καὶ τῷ πάππῳ δεικνύουσα αὐτὸ κάλλιστον ὄν. τὸ δὲ ὑπ' ἀγνοίασ τῶν κακῶν καὶ ἐμειδία πρὸσ τὴν θάλασσαν. ὑποπίμπλαμαι αὖθισ τοὺσ ὀφθαλμοὺσ δακρύων, μνημονεύουσα αὐτῶν.

Δ. κἀμὲ δακρῦσαι ἐποίησασ. ἀλλ' ἤδη τεθνᾶσιν;

Θ. οὐδαμῶσ. νήχεται γὰρ ἔτι ἡ κιβωτὸσ ἀμφὶ τὴν Σέριφον, ζῶντασ αὐτοὺσ φυλάττουσα. Δ. τί οὖν; οὐχὶ σώζομεν αὐτὴν τοῖσ ἁλιεῦσι τούτοισ ἐμβαλοῦσαι ἐσ τὰ δίκτυα τοῖσ Σεριφίοισ, οἱ δὲ ἀνασπάσαντεσ σώσουσι δηλονότι. Θ. εὖ λέγεισ, οὕτω ποιῶμεν, μὴ γὰρ ἀπολέσθω μὴ

Doridis. & Thetidis. DORIS

Quid lachrymaris o Thetis? T. Pulcherrimā o Do
vidi in arcam a patre deiectā. Illā deniq́ (ris puellā.
ac infantem, prolem nup̄ genitam pręcepit pater: ut a
nautis susciperent in arcula: & ubi multū a
terra diuulsi fuerint, demittant in mare: quo per-
eat misera ipsa cum infante. D. Cuius vero
rei gratia o soror? qn̄quidē exacte didicisti omnia.
T. Acrisius pater ip̄ius, pulcherrimā exn̄tem, deuo
uit ꝟginē dijs, ī ęneū q̄ndā thalamū īmittēs. Dein (q̊d
pro vero non dixerim) aiunt Iouē aurum fa- -tamē
ctum, defluxisse ꝑ impluuiū ad ip̄am: suscipientē ꝟo il-
lam in sinū defluentē deum, grauidam fa-
ctam. Hoc sentiēs pater, agrestis quidā, & çelotypus,
senex, indignatus est: & ab aliquo vitiatā esse putās /
ip̄am deijcit in arcam, nouiter enixam. D. Illa ꝟo
q̄d fecit o Thetis, qn̄ ꝑuenit ad mare? T. De seip̄a
silebat o Doris, & ferebat ꝯdēnationē. ifanti (quidē
cabat: ne mors cōtigeret: plorās, & patri auo (ꝟo p̄-
strās ip̄z pl'cherimū exn̄tē. Hoc ꝟo ob īnocē (demō-
subridebā usq́ ad mare. Porro deī- (tiā puellę, a mał
irrigaui oc'los, lachrymās ex freq̄nti illi- (ceps rursus
D. Et me lachrymari fecisti. At nū (us recordatiōe.
T. Neq̄q́. nauigat em̄ adhuc circa (q̄d iā mortui sīt?
riphō: viuētes ip̄os assuās. D. q̄d igit? nōne s3- (Se
uamus ip̄am piscatoribus / inijcientes in re-
tia Seriphijs? Illi ꝟo diuellentes seruabunt.
T. Bene dicis, sic faciamus: ne pereat cer-

τε αὐτῇ; μήτε τὸ παιδίον οὕτως ὂν καλόν.

ἐνιπέως. καὶ ποσειδῶνος. ΕΝΙΠΕΥΣ.

οὐ καλὰ ταῦτα ὦ πόσειδον. εἰρήσεται γὰρ τ' ἀληθές, ὑπελθών μου τὴν ἐρωμένην, εἰκασθεὶς ἐμοί, διεκόρησας τὴν τὴν παῖδα. ἡ δὲ ᾤετο ὑπ' ἐμοῦ ταῦτα πεπονθέναι, καὶ διὰ τοῦτο παρεῖχεν ἑαυτήν. Π. σὺ γὰρ ὦ ἐνιπεῦ, ὑπεροπτικὸς ἦσθα καὶ βραδύς, ὃς κόρης οὕτω καλῆς, φοιτώσης ὁσημέραι παρὰ σέ, ἀπολλυμένης ὑπὸ τοῦ ἔρωτος, ὑπερεώρας, καὶ ἔιχαιρες λυπῶν αὐτήν. ἡ δὲ παρὰ τὰς ὄχθας ἀλύουσα, καὶ ἐπεμβαίνουσα, καὶ λουομένη, ἐνίοτε εὔχετό σοι ἐντυχεῖν, σὺ δ' ἐθρύπτου πρὸς αὐτήν. Ε. τί οὖν; διὰ τοῦτο ἐχρῆν σε προσαρπάσαι τὸν ἔρωτα, καὶ καθυποκρίνεσθαι ἐνιπέα ἀντὶ ποσειδῶνος εἶναι, καὶ κατασοφίσασθαι τὴν τυρὼ ἀφελῆ κόρην οὖσαν; Π. ζηλοτυπεῖς ὦ ἐνιπεῦ, ὑπερόπτης πρότερον ὤν. ἡ τυρὼ δὲ οὐδὲν δεινὸν πέπονθεν, οἰομένη ὑπὸ σοῦ διακεκορῆσθαι. Ε. οὐμενοῦν. ἔφης γὰρ ἀπιὼν ὅτι ποσειδῶν ἦσθα, ὃ καὶ μάλιστα ἐλύπησεν αὐτήν, καὶ ἐγὼ τοῦτο ἠδίκημαι, ὅτε τὰ ἐμὰ σὺ εὐφραίνου τότε, καὶ περιστήσας πορφύρεόν τι κῦμα, ὅπερ ὑμᾶς συνέκρυπτε ἅμα, συνῆσθα τῇ παιδὶ ἀντ' ἐμοῦ. Π. σὺ γὰρ οὐκ ἤθελες ὦ ἐνιπεῦ.

τρίτωνος. καὶ νηρεΐδων. ΤΡΙΤΩΝ.

τὸ κῆτος ὑμῶν ὦ νηρεΐδες, ὃ ἐπὶ τὴν τοῦ κηφέως θυγατέρα τὴν ἀνδρομέδαν ἐπέμψατε, οὔτε τὴν παῖδα ἠδίκησεν, ὡς οἴεσθαι, καὶ αὐτὸ ἤδη τέθνηκε. Ν. ἀπὸ τίνος ὦ τρίτων; ἢ ὁ κηφεὺς καθάπερ δέλεαρ προθεὶς τὴν κόρην, ἀπέκτεινεν ἐπιών, λοχήσας μετὰ πολλῆς δυνάμεως; Τ. οὔκ, ἀλλ' ἴστε, οἶμαι, ὦ ἰφιάνασσα τὸν περσέα,

te ipsa: necp puerulus adeo formosus.

Enipei. & Neptuni. ENIPEVS.

Minime honesta hęc sunt Neptune. Dicit̃ ꝓ vero: ꝙ circũueneris a me amatã: similis effectus mihi: ṽgita- puellę. illa ṽo putabat se a me hęc (tẽ ꝓide ademeris hoc exhibuit seipsã. N. Tu Enipeu (passã ee: & ob cius eras & turbidus: q puellã sic pulchrã (despecti- die ad te, perditã prę amore cõtempseris: (euntẽ qti. lętatusq fueris molestijs afficiẽdo ipsã. At illa circa ri piscans / & ĩcedens / lauansq: interdũ optabat (pas tibi coire: te delicias agente cũ ipsa. E. Quid igitur? num ob hoc oportuit te ꝑripere mihi amorẽ; & mẽti- ri Enipeum pro Neptuno: & decipe- re Tyro siplicẽ puellã exñtẽ? N. Zelotypia moueris quũ ꝑus ꝯtẽptor tu extiteris: Tyro ṽo nihil (Enipeu, putãs se abs te violatã fuisse. E. Nõ (graue passa ẽ. em̃ abiẽs te neptunũ eẽ. qd & maxĩe (ꝓfecto. dixisti & ego ob hoc iniuria afficior: ꝙ ꝓpt (moleste tulit. ris: circũdãs purpureũ quendã fluctũ q (mea tu lęta peruit sil: & coiuisti cũ puella ꝓ me. N. At (vos o- non volebas o Enipeu. (q tu

Tritonis. & Nereidum. TRITON.

Cetus vester o Nereides, qui contra Cephei fili- am Andromedã missus est: necp puellam lę- sit: ut putatis: & ipse iam interijt. N. A quo nam o Triton? Nũqd Cepheus q̃si escã ꝓponẽs puellam adortus interemit / insidians magna vi?

T. Nõ. Sed nosti puto, nympha Iphianassa, Perseũ,

τὸ τῆς Δανάης παιδίον, ὃ μετὰ τῆς μητρὸς ἐν τῇ κιβωτῷ
ἐμβληθὲν ἐς τὴν θάλασσαν ὑπὸ τοῦ μητροπάτρος, ἐσώσα
τε οἰκτείρασαι αὐτούς. Ν. οἶδα ὃν λέγεις. εἰκὸς δὲ
ἤδη νεανίαν εἶναι, καὶ μάλα γενναῖόν τε καὶ καλὸν ἰδεῖν.

Τ. οὗτος ἀπέκτεινε τὸ κῆτος. Ν. διατί ὦ Τρίτων;
οὐ γὰρ δὴ σῶστρα ἡμῖν τοιαῦτα ἐκτίνειν αὐτὸν ἐχρῆν.

Τ. ἐγὼ ἡμῖν φάσω τὸ πᾶν ὡς ἐγένετο. ἐστάλη μὲν οὗτος
ἐπὶ τὰς γοργόνας, ἆθλόν τινα τοῦτον τῷ βασιλεῖ ἐπιτε-
λῶν. ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν λιβύην. Ν. πῶς ὦ τρίτων;
μόνος, ἢ καὶ ἄλλους συμμάχους ἦγεν; ἄλλως γὰρ
δύσπορος ἡ ὁδός. Τ. διὰ τοῦ ἀέρος. ὑπόπτερον γὰρ αὐ-
τὸν ἡ Ἀθηνᾶ ἔθηκεν. ἐπεὶ δ' οὖν ἧκεν ὅπου διῃτῶντο, αἱ
μὲν ἐκάθευδον, οἶμαι, ὁ δὲ ἀποτεμὼν τῆς μεδούσης
τὴν κεφαλὴν, ᾤχετ' ἀποπτάμενος. Ν. πῶς ἰδών;
ἀθέατοι γάρ εἰσιν, ἢ ὃς ἂν ἴδῃ, οὐκ ἔτ' ἄλλο μετὰ ταῦτα
ἴδοι. Τ. ἡ Ἀθηνᾶ τὴν ἀσπίδα προφαίνουσα. τοιαῦτα γὰρ
ἤκουσα διηγουμένου αὐτοῦ πρὸς τὴν Ἀνδρομέδαν, καὶ πρὸς
τὸν κηφέα ὕστερον. ἡ Ἀθηνᾶ δὴ ἐπὶ τῆς ἀσπίδος ὑποστιλ-
βούσης ὥσπερ ἐπὶ κατόπτρου, παρέσχεν αὐτῷ ἰδεῖν τὴν
εἰκόνα τῆς μεδούσης. εἶτα λαβόμενος τῇ λαιᾷ τῆς κόμης,
ἐνορῶν δὲ τὴν εἰκόνα, τῇ δεξιᾷ τὴν ἅρπην ἔχων, ἀπέτεμε
τὴν κεφαλὴν αὐτῆς. καὶ πρὶν ἀνέργεσθαι τὰς ἀδελφὰς
ἀνέπτατο. ἐπεὶ δὲ κατὰ τὴν παράλιον ταύτην Αἰθιοπίαν
ἐγένετο, ἤδη πρόσγειος πετόμενος, ὁρᾷ τὴν Ἀνδρομέδαν
προκειμένην ἐπί τινος πέτρας προβλῆτος προσπεπατ-
ταλευμένην, καλλίστην, ὦ θεοί, καθειμένην τὰς κόμας, ἡ-
μίγυμνον πολὺ ἔνερθε τῶν μαστῶν. καὶ τὸ μὲν πρῶτον
οἰκτείρας τὴν τύχην αὐτῆς, ἀνηρώτα τὴν αἰτίαν τῆς κατα-

Danaes prolem tenellam: quam cũ matre in arcam iniectam in mare a materno auo, ſerua-
ſtis: ɔmiſ3tę ip̄oꝝ. N. Noui quē dicis. at veriſiſe eſt
mō iuuenē eſſe, valdeq3 gn̄oſu3, ac pulchꝝ vi- (talē
T. Is ē q̄ int̄fecit Cetū. N. ꝓpt̄ q̄d o Tritō? (deri-
nō em̄ mercedē liberatōis eiuſmōi nob̄ ꝑſolueꝛ ip̄3 cō
T. Ego vob̄ dicā totū ut accidit. Miſſus (ueniebat.
ad Gorgonas/prȩmiū quoddā regi affe- (eſt hic
reus. Veꝝ ubi ꝑuenit ī Libyā. N. q̂ pacto o Tritō?
ſolus ne? an & alioſ auxiliatores duxit ſecū? alio q̄n.n.
difficilis via eſt. T. Per aerem. pennatum em̄ i-
pſū Mīerua r̄ddidit. Poſtq̄3 v̄o ꝑuēit ubi degebāt: illȩ
quidē dormiebāt: ut puto. veꝝ hic abſcīdēs Meduſæ
caput/abiјt euolans. N. Quo pacto ɔſpicatus eſt?
īuiſibiles em̄ ſt̄. vl̄ q̄ eas viderit: nō īſuꝑ aliud q̄ddā de
cōſpicabit̄. T. Mineruȩ clypeū p̄tēdēs (nā (inceps
audiui p̄dicantē ip̄m apd̄ Andromedā & -hȩc ego
Cepheū nouiſſīe) Mīerua haud dubie ī clypeo reſplē
dente quemadmodū in ſpeculo: prȩbuit ille ipſam
imaginē Meduſȩ ut videret. Deīn adcipiēs lȩua comā
inſpiciētis imaginē: dextra falcem habens/abſcidit
caput ipſius: ac priuſq̄3 excitarentur ſorores/
ſurſum volauit. Veꝝ ubi maritimā hāc AEthiopiam
venit: iam volatu terrȩ proximus/ videt Andromedā
adiacentē in quadā eminenti rupe: paloq̄3 affi-
xam, pulcherrimā, Dij boni, demiſſa coma, ac
ſeminudā multū admodū infra ubera. Et primū q̄de3
miſeratus fortunā ip̄ius/interrogabat cām condem-

P

δίκως· κατὰ μικρὸν δὲ ἁλοὺς ἔρωτι, ἔχρην γὰρ σεσῶσθαι τὴν παῖδα, βοηθεῖν διέγνω· καὶ ἐπειδὴ τὸ κῆτος ἐπῄει μάλα φοβερὸν, ὡς καταποιούμενον τὴν Ἀνδρομέδαν, ὑπεραιωρηθεὶς ὁ νεανίσκος πρόκωπον ἔχων τὴν ἅρπην, τῇ μὲν καθικνεῖται, τῇ δὲ προδεικνὺς τὴν γοργόνα, λίθον ἐποίει αὐτό· τὸ δὲ τέθνηκε κοῦν· καὶ πέπηγεν αὐτοῦ τὰ πολλὰ ὅσα εἶδε τὴν μέδουσαν· ὁ δὲ λύσας τὰ δεσμὰ τῆς παρθένου, ὑποσχὼν τὴν χεῖρα, ὑπεδέξατο ἀκροποδητὶ κατιοῦσαν ἐκ τῆς πέτρας ὀλισθηρᾶς οὔσης· καὶ νῦν γαμεῖ ἐν τοῦ Κηφέως, καὶ ἀπάξει αὐτὴν Ἄργος, ὥστε ἀντὶ θανάτου γάμον οὐ τὸν τυχόντα εὕρετο.

Ν. ἐγὼ μὲν οὐ πάνυ τῷ γεγονότι ἄχθομαι· τί γὰρ ἡ παῖς ἠδίκει ἡμᾶς, εἴ τι ἡ μήτηρ ἐμεγαλαύχει τότε, καὶ ἠξίου καλλίων εἶναι; Τ. ὅτι οὕτως ἂν ἤλγησεν ἐπὶ τῇ θυγατρὶ μήτηρ γε οὖσα. Ν. μηκέτι μεμνήμεθα ὦ Δωρὶ ἐκείνων, εἴ τι βάρβαρος γυνὴ ὑπὲρ τὴν ἀξίαν ἐλάλησεν· ἱκανὴν γὰρ ἡμῖν τιμωρίαν ἔδωκε, φοβηθεῖσα ἐπὶ τῇ παιδί· χαίρωμεν οὖν τῷ γάμῳ·

ζεφύρου· καὶ νότου· ΖΕΦΥΡΟΣ·

οὐ πώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάττῃ, ἀφ' οὗ εἰμι καὶ πνέω· σὺ δὲ οὐκ εἶδες ὦ νότε; Ν. τίνα ταύτην λέγεις ὦ ζέφυρε τὴν πομπήν; ἢ τίνες οἱ πέμποντες ἦσαν; Ζ. ἡδίστου θεάματος ἀπελείφθης οἷον οὐκ ἄλλο ἴδοις ἔτι. Ν. παρὰ τὴν ἐρυθρὰν γὰρ θάλασσαν εἰργαζόμην, ἐπέπνευσα δέ τι καὶ μέρος τῆς ἰνδικῆς, ὅσα παράλια τῆς χώρας· οὐδὲν οὖν οἶδα ὧν λέγεις. Ζ. ἀλλὰ τὸν σιδώνιον Ἀγήνορα εἶδες; Ν. ναί, τὸν τῆς εὐρώπης πατέρα· τί μήν;

natõis. Paulopost v̄o amore captus (cõueniẽs nãq; erat ut s͡ʒuaret puella) adminiculo eẽ eidẽ dignũ duxit. Platus accessit ĩpẽse tribil', tãq; deuo (ne postea q; Cemedã: demittẽs ocl'os iuuenis / stri (raturus Androcẽ, unã qdẽ manũ oñdit: alt'a v̄o pse (ctũq; hñs fallapidẽ cõfecit ip̃ʒ. Ille itaq; morte sub (rẽs Gorgona ml'ta eoꝝ q̃ cõspicata fuerĩt Me (latus ẽ. iduruerĩt dẽiq; soluẽs vinct'a v̄gĩs, sustinẽs manũ, sus (dusã. Porõ ille cepit sumis pedib͛ descẽdentẽ ex rupe procliui. & nũc eã ducit uxorẽ ĩ ip̃a domo Cephei: abducetq; Argos. iõq; p morte nuptias has fęlices ĩuenit. (ip̃aʒ N. Ego qdẽ non admodũ ex hoc facto męrore affi offendit nos: si q̊ mõ mat' gl'iata ẽ (cior. ĩ q̊ em̃ puella pulchriorẽ eẽ? T. Verũtñ etiã mi (alñ & p̃sũpsit se filiã mat'. N. nõ ãplius memĩe (rũimodũ doluit ob illoꝝ. si qd barbara mulier ultra hoc q̊d (rius Doris sufficiẽtẽ em̃ nobis pęnã dedit: tri (decuit locuta ẽ. filiam. Congratulemur igitur nuptijs. (ta propt'

Zephyri. & Noti. ZEPHYRVS.

Nunq; pompã ego magnificentiorem vidi in mari exquo sum, & spiro. Tu vero nunquid o Note? N. q̃nã hęc ẽ quã dicis o Zephyre põpã? aut q ducẽtes pompã erãt? Z. Suauissĩo spectacl'o caruisti: ut nõ aliud videre possis posthac. N. Iuxta threum mare occupatus spirabã: atq; in (Erypte indici maris, oĩb͛ deniq; maritĩ illius regiõis. nihil igit' eoꝝ noui quę dicis. Z. Attñ sidoniũ Agenorẽ vidisti? N. Profecto vidi. Europę genitorẽ. qd tũ?

Ζ. περὶ αὐτῆς ἐκείνης διηγήσομαί σοι. Ν. μῶν ὅτι ὁ ζεὺς ἐραστὴς ἐκ πολλοῦ τῆς παιδός, τοῦτο γὰρ καὶ πάλαι ἠπιστάμην. Ζ. οὐκοῦν τὸν μὲν ἔρωτα οἶσθα, τὰ μετὰ ταῦτα δὲ ἤδη ἄκουσον. ἡ μὲν εὐρώπη κατεληλύθει ἐπὶ τὴν ἠϊόνα παίζουσα, τὰς ἡλικιώτιδας παραλαβοῦσα. ὁ ζεὺς δὲ ταύρῳ εἰκάσας ἑαυτὸν, συνέπαιζεν αὐταῖς, κάλλιστος φαινόμενος. λευκός τε γὰρ ἦν ἀκριβῶς, καὶ τὰ κέρατα εὐκάμπης, καὶ τὸ βλέμμα ἥμερος. ἐσκίρτα οὖν καὶ αὐτὸς ἐπὶ τῆς ἠϊόνος, καὶ ἐμυκᾶτο ἥδιστον. ὥστε τὴν εὐρώπην τολμῆσαι καὶ ἀναβῆναι αὐτόν. ὡς δὲ τοῦτ᾽ ἐγένετο, δρομαῖος μὲν ὁ ζεὺς ὥρμησεν ἐπὶ τὴν θάλατταν, φέρων αὐτὴν καὶ ἐνήχετο ἐμπεσών. ἡ δὲ πάνυ ἐκπλαγεῖσα τῷ πράγματι, τῇ λαιᾷ μὲν ἔχετο τοῦ κέρατος, ὡς μὴ ἀπολισθάνοι, τῇ ἑτέρᾳ δὲ ἠνεμωμένον τὸν πέπλον ξυνεῖχε. Ν. ἡδὺ τοῦτο θέαμα ὦ ζέφυρε εἶδες καὶ ἐρωτικόν, νηχόμενον τὸν Δία φέροντα τὴν ἀγαπωμένην. Ζ. καὶ μὴν τὰ μετὰ ταῦτα ἡδίω παραπολὺ ὦ νότε. ἥ τε γὰρ θάλαττα εὐθὺς ἀκύμων ἐγένετο, καὶ τὴν γαλήνην ἐπισπασαμένη λείαν παρεῖχεν ἑαυτήν. ἡμεῖς δὲ πάντες ἡσυχίαν ἄγοντες, οὐδὲν ἄλλο ἢ θεαταὶ μόνον τῶν γιγνομένων, παρηκολουθοῦμεν. ἔρωτες δὲ παραπεπετώμενοι μικρὸν ὑπὲρ τὴν θάλατταν, ὡς ἐνίοτε ἄκροις τοῖς ποσὶν ἐπιψαύειν τοῦ ὕδατος, ἐμμένας τὰς δᾷδας φέροντες, ᾖδον ἅμα τὸν ὑμέναιον. αἱ νηρεΐδες δὲ ἀναδῦσαι, παρίππευον ἐπὶ τῶν δελφίνων ἐπικροτοῦσαι, ἡμίγυμνοι. αἱ πολλαὶ τό τε τῶν τριτώνων γένος, καὶ εἴ τι ἄλλο μὴ φοβερὸν ἰδεῖν τῶν θαλαττίων. ἅπαντα περιεχόρευε τὴν παῖδα. ὁ μὲν γὰρ ποσειδῶν ἐπιβεβηκὼς ἅρματος,

Z. De eaipsa narrabo tibi. N. Profecto Iupiter amator fuit ex multo tp̄e puellę: q̊d & olim sciebā. Z. Itaq; amorē q̄dē nostr: verꝝ q̄ subīde acciderunt nūc audi. Europa illa descendit ad littus lusura: coętaneas secū simul assumēs. Porro Iupiter tauro adsimilans seip̄z/colludebat illis: pulcherrimus apparēs. cādidus nāq; erat undiq;: cornua ꝑin̄ illi sinuosa, & aspectus benignus. saliebat plane & ipse in littore: & mugiebat suauissime. q̄propter Europa ausa est inscendere ip̄m. Quo facto/pleno cursu Iupiter exilijt in mare: ferens ip̄am/ vehēdoq; incidēs. Illa v̄o vehement̄ territa ex hac re: lęua quidē tenebat cornu/ne periret: altera v̄o vēto cōcitatū peplū cōtinebat. N. Suaue hoc spectaculū o Zephyre, q̊d vidisti: & amatoriū q̊d p̄ Iupit̄, natādo ferens dilectā. Z. Atqui quę (stabat post hęc acciderūt suauiora multo Note. Etem̄ mare statim nō fluctuās factū est: & trāquillitatē ostētans/ iucundū prębuit seip̄z. At nos omnes quietem agentes, nihil aliud q̄ spectatores facti eoꝝ quę fiebant, seq̄bāur. Pōrō (Cupido Venusq;) amores aduolātes parꝝ super mare: ut interdum summis pedibus attingerent aquā: accensas faces ferendo/canebant simul hymeneū. Nereides vero emergentes/ equitū ritu delphinis vectabant̄: applaudētes seminudę. Ad hęc Tritonū genus: & si quę alia sunt marinorū/quę terribili nō sunt aspectu. Oīa saliebant circa puellam. Et quidē Neptunus cōscendens currū,

παροχούμενος τε, καὶ τὴν Ἀμφιτρίτην ἔχων προῆγε γεγηθώς, προοδοιπορῶν νηχομένῳ τῷ ἀδελφῷ. ἐπὶ πᾶσι δὲ τὴν Ἀφροδίτην δύο τρίτωνες ἔφερον ἐπὶ κόγχης κατακειμένην, ἄνθη παντοῖα ἐπιπάττουσαν τῇ νύμφῃ. ταῦτα ἐκ φοινίκης ἄχρι τῆς κρήτης ἐγένετο. ἐπεὶ δὲ ἐπέβη τῇ νήσῳ, ὁ μὲν ταῦρος οὐκ ἔτι ἐφαίνετο. ἐπιλαβόμενος δὲ τῆς χειρὸς ὁ ζεύς, ἀπῆγε τὴν εὐρώπην ἐς τὸ Δικταῖον ἄντρον ἐρυθριῶσαν καὶ κάτω ὁρῶσαν. ἠπίστατο γὰρ ἤδη ἐφ᾽ ὅτι ἄγοιτο. ἡμεῖς δ᾽ ἐμπεσόντες ἄλλος ἄλλο τοῦ πελάγους μέρος διεκυμαίνομεν. Ν. ὦ μακάριε ζέφυρε τῆς θέας, ἐγὼ δὲ γρύπας, καὶ ἐλέφαντας, καὶ μέλανας ἀνθρώπους ἑώρων.

ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

Διογένους. καὶ Πολυδεύκους.

ΔΙΟΓΕΝΗΣ.

Ὦ Πολύδευκες, ἐντέλλομαί σοι ἐπειδὰν τάχιστα ἀνέλθῃς, σὸν γάρ ἐστιν οἶμαι τὸ ἀναβιῶναι αὔριον, ἤν που ἴδῃς μένιππον τὸν κύνα, εὕροις δ᾽ ἂν αὐτὸν ἐν κορίνθῳ κατὰ τὸ κράνειον, ἢ ἐν λυκείῳ, τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα. εἰπεῖν πρὸς αὐτόν, ὅτι σοί ὦ μένιππε, κελεύει ὁ Διογένης. εἴ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον. ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοι ἔτι ὁ γέλως ἦν. καὶ πολὺ τό. τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; ἐν ταῦτα δὲ οὐ παύσῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν. καὶ μάλιστα, ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους, καὶ σατράπας, καὶ

transfferensq;, & Amphitriten precedebat hilaris: ostentans viam Ioui fratri natanti. Int omnes vero Venerē duo Tritones ferebant/ in concha iacentem; flores varios aspergentē sponsę. Hæc ex Phœnicia usq; ad Cretā sic ɔtigerīt. Verꝫ ubi pueīt ad īsulā/ taurus nō amplius apparebat. arripiens ꝟo manum Iupiter, abduxit Europā in Dictęū antrū, erubescentē demissis in terrā ocul. sciebat em̄ iā ob q̄d duceret. At nos insidentes alius aliam in pelagi partem, fluctibus redimus. O beatū Zephyrū, q talia viderit: Verꝫtamē ego gryphes, & elephātes, & nigros homines conspicabar.

MORTVI DIALOGI.

Diogenis. & Pollucis.

DIOGENES.

O Pollux, cōmēdo tibi: postq̄ celerrīe ad superos redieris (tuū em̄ est arbitror/ reuiuiscere cras) sicubi videris Menippū canē, inuenies ꝟo ipm Corinthi iuxta Craneū, vel in Lycęo, contendentes mutuo philosophos irridentem, dicere velis ad eū: Quoniā tibi Menippe iubet Diogenes. Si tibi satis terrena deriseris: ut venias huc: mlto amplius habiturus q̄d irrideas. Alibi eqdeꝫ ī ābiguo tibi adhuc ē/ cuiusmōi risus sit. & certe mltuꝫ em̄ oīno agnoscat ea q̄ st ī vita: Hic ꝟo (hoc. Quis ces a cōstāti risu, queādmodū ego nūc. Et (nō quiesubi videas diuites/ satrapas / & (maxime,

τυράννους δὲ οὕτω ταπεινοὺς, καὶ ἀσήμους; ἐκ μόνης οἰμωγῆς διαγινωσκομένους, καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι, μεμνημένοι τῶν ἄνω. ταῦτα λέγε αὐτῷ, καὶ προσέτι ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν, καὶ εἴπου εὕροι ἐν τῇ τριόδῳ ἑκάτης δεῖπνον κείμενον, ἢ ὠὸν ἐκ καθαρσίου, ἤ τι τοιοῦτο. Π. ἀλλ' ἀπαγγελῶ ταῦτα ὦ Διόγενες. ὅπως δὲ εἰδῶ μάλιστα; ὁποῖός τίς ἐστι τὴν ὄψιν; Δ. γέρων, φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον. γελᾷ δ' ἀεὶ, καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει.

Π. ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων. Δ. βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλομαί τι τοὺς φιλοσόφους. Π. λέγε. οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο. Δ. τὸ μὲν, ὅλον παύσασθαι αὐτοῖς παρεγγύα ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι, καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρω, τᾶν διδάσκουσι τὸν νοῦν. Π. ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν. Δ. σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε. Π. καὶ ταῦτα ὦ Διόγενες ἀπαγγελῶ. Δ. τοῖς πλουσίοις δὲ ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελε ταῦτα παρ' ἡμῶν. τί ὦ μάταιοι τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθαι ἑαυτοὺς, λογιζόμενοι τοὺς τόκους καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας ἥκειν μετ' ὀλίγον; Π. εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους. Δ. ἀλλὰ καὶ τοῖς καλοῖς γε, καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ, καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη, ἢ οὔτε τὰ χαροπὰ,

tyrannos sic deiectos, & neutiq insignes, ex solo eiu
latu cognitos: & q molles & degeneres
sint rcordātes eoR q st apd' supos. Hęc illi pdica, pid'
ut impleta pera veniat lupino multo: &
alicubi reperta in triuio Hecatę cœnā iacentē: aut ouū
ex purgatiōe/vl' huiuscemōi re. P. S3 rnūciabo hęc
o Diogenes. q pacto aūt agnouero eū maxie? ql' nam
est s3m faciem? D. Vetulus, caluus, lacernā hns ml'
to aditu, omni vento peruiam: & su-
perne plicas pāniculoR q pluriū. Ridet vo sp: & mul
tum arrogantiam philosophorum consyderat.
P. Facile eū fuerit īuenire apd' illos. D. vel' & ad
illos ipos referre mandati quippiā philosophos. P.
Dic, nō molestū em neq hoc ē. D. Hoc qdē: ut ī to
rēt sibi ab allegatiōe nugaR/ & ab oī vbo- (tū tēpe-
q cornua gnant ill' mutuo: crocodilosq (rū pugna:
& hęc dubia īquirūt: cū de hoc doceat sēsus. (faciūt:
P. At me indoctū & rudem esse dicent/accusan-
tem sapientiā eorū. D. Tu vero plorare ipsis a
me manda. P. Et hęc Diogenes renūciabo. D.
Diuites vero amicissime Pollux, affare
hisce a me verbis. Quid o vani aurum amatis?
Quid vo excruciatis vosipos/cōputantes usura3: &
talentū sup talenta addētes: quibɔ nece est unū obolū
habentes/venire post pusillū? P. Dicam & talia
ad illos. D. VeRtn & formosis, & prguali-
dis dic Megillo/Corintho/ & Damoxeno luctato-
ri: qm apd' nos neq Xāthi forma, aut faciei venustas

ἢ μέλανα ὄμματα, ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἐστὶν,
ἢ νεῦρα ἔντονα, ἢ ὦμοι καρτεροὶ, ἀλλὰ πάντα, μία ἡμῖν κό
νισ φασὶ, κρανία γυμνὰ τοῦ κάλλουσ. π. ου
χαλεπὸν ουδὲ ταῦτα εἰπεῖν πρὸσ τοὺσ καλοὺσ, καὶ
ἰσχυρούσ. Δ. καὶ τοῖσ πένησιν ὦ λάκων, πολλοὶ δ'
εἰσὶ καὶ ἀχθόμενοι τῷ πράγματι, καὶ οἰκτείροντεσ τὴν
ἀπορίαν, λέγε μήτε δακρύειν, μήτ' οἰμώζειν, διηγησάμενοσ
τὴν ἐνταῦθα ἰσοτιμίαν, καὶ ὅτι ὄψονται τοὺσ ἐκεῖ πλουσί
ουσ ουδὲν ἀμείνουσ αὐτῶν. καὶ λακεδαιμονίοισ δὲ τοῖσ
σοῖσ ταῦτα, εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον λέγων ἐκλε-
λύσθαι αὐτούσ. π. μηδὲν ὦ διόγενεσ περὶ λακεδαιμονί-
ων λέγε. ου γὰρ ἀνέξομαί γε. ἃ δὲ πρὸσ τοὺσ ἄλλουσ ἔφη-
σθα, ἀπαγγελῶ. Δ. ἐάσωμεν τούτουσ ἐπεί σοι δοκεῖ,
σὺ δὲ οἷσ προεῖπον, ἀπένεγκαι παρ' ἐμοῦ τοὺσ λόγουσ.

πλούτωνοσ. ἢ κατὰ μενίππου. ΚΡΟΙ̃ΣΟΣ.

ου φέρομεν ὦ πλούτων, μένιππον τουτονὶ τὸν κύνα πα
ροικοῦντα, ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖσ μετοι-
κήσωμεν εἰσ ἕτερον τόπον. πλ. τί δ' ἡμᾶσ δεινὸν ἐργά
ζεται ὁ μόνεκροσ ὤν; κ. ἐπειδὰν ἡμεῖσ οἰμώζομεν,
καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, μίδασ μὲν οὑτοσὶ
τοῦ χρυσίου, σαρδανάπαλοσ δὲ τῆσ πολλῆσ τρυφῆσ, ἐγὼ δὲ
τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ κα-
θάρματα ἡμᾶσ ἀποκαλῶν, ἐνίοτε δὲ καὶ ᾄδων
ἐπιταράττει ἡμῶν τὰσ οἰμωγάσ. καὶ ὅλωσ λυπηρόσ
ἐστι. πλ. τί ταῦτα φασὶν ὦ μένιππε; μεν. ἀλη-
θῆ ὦ πλούτων. μισῶ γὰρ αυτουσ ἀγεννεῖσ καὶ ὀλε-
θρίουσ ὄντασ, οἷσ ουκ ἀπέχρησε βιῶναι κακῶσ, ἀλ-
λὰ καὶ ἀποθανόντεσ, ἔτι μέμνηνται καὶ περιέχονται

nigriue oculi, rubor deniq; vultus amplius adsunt: non nerui robusti, aut humeri potẽtes, sꝫ oĩa q̃ de no⸗ bis dñr/unus est puluis, caput renudatũ formę fama. graue neq; hęc mihi fuerit dicere ad formo⸗ (P. Nõ viribꝯ p̃stãtes. D. Et paupibꝯ o spartane, (sos/& sunt dolore affecti in rebus/& miseri ob (mlti em̃ egestatem) dic: ne lachryment: nec eiulent: narrando quã hic habituri sint ęqualitatẽ: & q̄ visuri sint diui⸗ tes nihil meliores ipsis. Et Lacedæmonijs tuis talia (si visum fuerit) a me dicens/ex cru⸗ ciatu liberaueris ip̄os. P. nihil o Dio, de Lacedẽoni is dic. nõ em̃ adcipient. Quę vero ad alios dixi⸗ sti/renũciabo. D. Dimittimus hęc tuę coniecturæ. tu v̾o illis prędica: referq; mihi eorum sermones.

Plutõis. Vł aduersus Menippũ. CRES.

Non ferimus o Pluto, Menippum hunc canem, co habitantẽ: q̃propt̃ aut illũ alio colloca: aut nos cõmi⸗ grabimus in aliũ locum. P. Quid nobis molesti fa ciat paris ꝯditiõis mortuus? C. Postq; nos ĩ fletũ p̄ et gemĩus: illoꝝ r̃cordãtes q̃ sursũ sᷓ: Midas (rũpĩus: auri, Sardanapal̃, v̾o multijugę voluptatis, (q̄dẽ tãti thesauroꝝ, irridet ille sp̄ & exprobrat: mã (po͞ro ego cipia & scelestos nos cognõinãs: int̃dũ v̾o & cantãs/ conturbat nobis fletum. Deniq; omnino molestus est. P. Quid hęc de te dicunt Menippe? M. Ve re o Pluto, odio namq; ipsos degeneres & pernicio⸗ sos ex͞ntes: quibus nõ profuit viuere perperam: ve⸗ rũ & morientes recordantur/menteq; concipiunt

τῶν ἄνω· χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς· π· ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι· μ· καὶ σὺ μωραίνεις ὦ πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς· π· οὐδαμῶς· ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς· μ· καὶ μὴν ὦ κάκιστοι λυδῶν, καὶ φρυγῶν, καὶ ἀσσυρίων οὕτω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου· ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ κατάδων καὶ καταγελῶν· κ· ταῦτα οὐχ ὕβρις; μ· οὐκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώζετε πάντων ἐκείνων ἀφῃρημένοι· κ· πολλῶν γε ὦ θεοί, καὶ μεγάλων κτημάτων· μι· ὅσου μὲν ἐγὼ χρυσοῦ; σαρδα· ὅσης δ' ἐγὼ τρυφῆς; με· εὖγε, οὕτω ποιεῖτε, ὀδύρεσθε μὲν ὑμεῖς· ἐγὼ δὲ τὸ, γνῶθι σαυτὸν, πολλάκις συνείρων, ἐπάσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον·

μενίππου· ἀμφιλόχου· καὶ τροφωνίου·

ΜΕΝΙΠΠΟΣ·

σφὼ μέντοι ὦ τροφώνιε, καὶ ἀμφίλοχε, νεκροὶ ὄντες, οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεοὺς ὑμᾶς ὑπειλήφασιν εἶναι· τ· τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ' ἀνοίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσι; μ· ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τὰ μέλλοντα προειδότες, καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρωμένοις· τ· ὦ μένιππε, ἀμφίλοχος μὲν οὗτος ἂν εἰδείη, ὅτι αὐτῷ ἀποκριτέον ὑπὲρ αὐτοῦ· ἐδὼ δὲ

quę sīt in vita. Gaudeo ergo dimittēs eos. P. Sȝ nō oꝑtet. tristant̄ em̄ nō paruis rebus orbati. M. Et tu euanescis Pluto, suffragium prębens talibus suspiriis. P. Nequaꝗ̄. haud em̄ velim seditionē mouere int̄ vos. M. atq̄ o flagitiosissimi Lydoꝝ/Phrygū et Assyrioꝝ, sic dinoscite: ut mihi non det̄ quies. tunc em̄ lamētamini: sequar vos ascēdēs & descēdēs irridēdo. C. Heccine ꝯtumelia? M. Nō: sȝ illa ꝯtumelia est quā ip̄i vobis fecistis: adorari vos dignū iudicātes & liberos vestros deliciis capientes: mortisꝗ̄ pręomnibus non recordantes: itaꝗ̄ deflete omnia illa nūꝗ̄ quieturi. C. M̄stas, Dii boni, & magnas possedi opes. MI. Quantū ꝟo ego auri? S. Quantas ego voluptates? ME. Euge, sic facite: dolorēꝗ̄ afferte vobisip̄is. veꝝtñ ego ꝟbū hoc, agnosce teip̄ȝ, sępius obiiciēs/cātabo vobis. decet nāꝗ̄ talibus lamentis adhibere cantum.

Menippi. Amphilochi. & Trophonii.

M E N I P P V S.

Vos q̄dē Trophonie, & Amphiloche, mortui cū sitis nescio q̄ nā mō tēplis donati extiteritis: vatesꝗ̄ videamini: vani deniꝗ̄ hoīes deos vos esse arbitrent̄. T. Quid igit̄ nobis īputādū fuerit: si ꝑ īscitiā illi talia de mortuis opinant̄? M. Veꝝtñ hęc nō fuisset opinati/ nisi & vos cū viueretis/eiusmōi portēta ōndissetis: tanꝗ̄ futuroꝝ p̄scii, & p̄dicere potentes īterrogātibꝰ. T. Menippe, Amphilochus certe hic nouit quō ipsi respondendū sit pro se. Cæterum ego

ἥρως εἰμὶ, καὶ μαντεύομαι ἤν τις κατέλθοι παρ' ἐμέ. σὺ δ' ἔοικας οὐκ ἐπιδεδημηκέναι λεβαδείᾳ τὸ παράπαν. οὐ γὰρ ἠπίστεις σὺ τούτοις. Μ. τί φῄς; εἰ μὴ ἐς λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσταλμένος ταῖς ὀθόναις, γελοίως μάζαν ἐν ταῖν χεροῖν ἔχων, ἐσερπύσω διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἐδυνάμην εἰδέναι ὅτι νεκρὸς εἶ ὥσπερ ἡμεῖς, μόνῃ τῇ γοητείᾳ διαφέρων, ἀλλὰ πρὸς τῆς μαντικῆς· τί δὲ ὁ ἥρως ἐστίν; ἀγνοῶ. Τ. ἐξ ἀνθρώπου τί, καὶ θεοῦ σύνθετον. Μ. ὃ μήτε ἄνθρωπος ἐστὶν, ὡς φῄς, μήτε θεὸς, καὶ συναμφότερόν ἐστι· νῦν οὖν ποῦ σου τὸ θεοῦ ἐκεῖνο ἡμίτομον ἀπελήλυθε; Τ. χρᾷ ὦ μένιππε ἐν βοιωτίᾳ. Μ. οὐκ οἶδα ὦ τροφώνιε, ὅτι καὶ λέγεις· ὅτι μέντοι ὅλος εἶ νεκρὸς, ἀκριβῶς ὁρῶ.

ζηνοφάντου. καὶ καλλιδημίδου. ΖΗΝΟΦΑΝΤΗΣ.

Σὺ δὲ ὦ καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν ἀπεπνίγην, οἶσθα· παρῆς γὰρ ἀποθνήσκοντί μοι. Κ. παρῆν ὦ ζηνόφαντες· τὸ δ' ἐμὸν παράδοξόν τι ἐγένετο· οἶσθα γὰρ καὶ σύ που πτοιόδωρον τὸν γέροντα. Ζ. τὸν ἄτεκνον τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα;

Κ. ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενος ἐπ' ἐμοὶ τεθνήξεσθαι· ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ πτοιόδωρος αἰτήσῃ πιεῖν, πίνει δ' ἐπιεικῶς, ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ.

εἰ δὲ τοῦτο ποιήσει,

herus sum: vaticinorq; si quis descenderit ad me.
Tu vero videris non adijsse Lebadiam omnino.
alioqn nõ incredulus eẽs rebꝫ illis. M. quid ais? nisi
Lebadiam fuissem profectus, amictus linteis,
ridicule offam manibus gestans, irrepsissem per
angustũ aditum in specum: nequaq; fieri po-
tuisset/ut viderẽ q mortuus es pinde atq; nos: sola p
differẽs: sꝫ p diuinãdi artẽ. Quid tandẽ est (stigiatura
nõ em intelligo. T. Ex hoĩe qddã & deo (heros?
qd neq; hõ sit (ut ais) neq; deus: verꝝ (cõpositũ. M.
trũq;. Nũc igit q tua diuina illa dimidia ps (parit u-
recessit? T. Oracula reddit Meñ, in Lebaida. M.
Haud scio Trophonie quid dicas, quandoquidem
totus es mortuus: ut ego plane video.

Zenophantę. & Callidemidę. ZENO.
Tu Callidemides, quo nã mõ intẽjsti? Nam q ego
parasitus existens Dinię/ĩmodice me ingurgitãs pfo-
catus sim, tu quidẽ nosti. aderas em mihi moriẽti. C.
Aderã Zenophãtes, verꝝ mihi ĩopĩatũ qddaꝫ accidit.
Nosti equidem & tu Ptœodorum senem. Z.
Orbũ illũ diuitem, cui te assidue videbã cõmorantẽꝫ?
C. Illũ ipm semp colens captabam: promittens
mihi fore, ut ĩ rẽ meã q pmũ moreret. verꝝ cũ ea res ĩ
pferret, vicꝫ ultra Tithonios ãnos sene vi (lõgissimũ
qndã viã ad herditatẽ pueiẽdi ĩueni. (uẽte, ɔpẽdiariã
nũ, psuasi pocillatori: ut sit atq; (Siqdẽ emẽdo vene
posceret bibere (bibit aũt plixius) pse- (Ptœodorus
calicẽ paratũ hñdo qd porrigeret illi. (tius ĩjceret ĩ

Quod si fecisset,

ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. Ζ. τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐξεῖν ἔοικας.

Κ. ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοί, σφαλείς, οὐκ οἶδ' ὅπως, ἐμοὶ τὸ φάρμακον, πτοιοδώρῳ δὲ τὰ ἀφάρμακτον ἐπέδωκεν. εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν. Ζ. ἀστεῖα γὰρ ὦ Καλλιδημίδη πέπονθας. ὁ γέρων δὲ τί πρὸς ταῦτα; Κ. πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον. εἶτα συνεὶς οἶμαι, τὸ γεγενημένον ἐγέλα καὶ αὐτὸς οἷάγε ὁ οἰνοχόος εἴργασαι.

Ζ. πλὴν ἀλλ' οὐδὲ σὲ τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι. ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἦν.

Κνήμωνος καὶ Δαμνίππου. ΚΝΗΜΩΝ.

τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, ὁ νεβρὸς τὸν λέοντα. Δ. τί ἀγανακτεῖς ὦ Κνήμων; Κ. πυνθάνῃ ὅ,τι ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ παραλιπών. Δ. πῶς τοῦτ' ἐγένετο; Κ. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄπεκνον ὄντα, ἐθεράπευον ἐπὶ θανάτῳ, κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερόν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε καὶ τὰ αὐτὰ πράξειε. Δ. τί οὖν δὴ ἐκεῖνος; Κ. ὅ,τι μὲν οὖν αὐτὸς ἐνε-

manumittēdū a me,iureiurādo affirmabā illū. Z. qd igiť accidit? nā valde inopinatū quiddā narratus mihi C. Posteaq̄ nūc loti venissēus: duo iā pu (videris. er pocula parata habebat: alterꝝ Ptœodoro. habens venenū: alterꝝ vero mihi. Errat autem nescio quō: mihi venenum/Ptœodoro innoxium porrigens. At ubi ille bibit: ego statim valde porrecti sternebar, suppositiciū illius loco funus. Cur hęc rides Zenophanta? Atqui nō cōuenit amicū virum irridere. Z. Lepide profecto Callidemides tibi res euenit. Senex v̄o quid ad hęc? C. Primum qdē ꝯturbatū ē ad subitū casuꝫ. Deīde ītelligēs, puto, quod acciderat/risit & ip̄e hmōi q̄ pocillator fecerat. Z. Verꝝ em̄uero neq̄ te ad cōpendiū hoc optuit diuertere. venissꝫ em̄ tibi p̱ vulgatā viā q̊d fuissꝫ tutius. & si paulo serius extitisset.

Cnemōis. & Damnippi. CNEMON.

Hoc illud est q̊d vulgo dici solet: Hinnulus leonē. D. Quid cōquereris Cnemon? C. Interrogas quid conquerar? Heredē pręť anī snīam reliqui: astu delusus miser: quos volebam maxime habere bona mea pręteriens. D. Quinā istuc euenit? C. Hermolaū illū valde diuitē, orbum, captabā: insꝫuiens īminēte morte. neq̄ ille grauatī officiū admisit meū. Visum v̄o erat mihi consultū esse: si proferrē testamētum in publicum: in quo illi reliquissem res meas omnes: ut & ille me imitaretur/ idemq̄ faceret. D. Quid igitur ille fecit? C. Quid ille in-

γαψε ταῖς ἑαυτοῦ διαθήκαις οὐκ οἶδα. ἐγὼ γοῦν ἀφῖνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος, καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπερ τις λάβραξ, καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας. Δ. οὐ μόνον, ἀλλὰ καὶ αὐτὸν σὲ τὸν ἁλιέα. ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. Κ. ἔοικα, οἰμώζω τοί γαρ οὖν.

σιμύλου. καὶ Πολυστράτου. ΣΙΜΥΛΟΣ.

Ἥκεις ποτὲ ὦ Πολύστρατε καὶ σὺ παρ' ἡμᾶς, ἔτη, οἶμαι, οὐ πολὺ ἀποδέοντα τῶν ἑκατὸν βεβιωκώς. Π. ὀκτὼ ἐπὶ τοῖς ἐννενήκοντα ὦ Σίμυλε. Σ. πῶς δὲ τὰ μετ' ἐμὲ ταῦτ' ἐβίως τριάκοντα; ἐγὼ γὰρ ἀμφὶ τὰ ἑβδομήκοντά σου ὄντος ἀπέθανον. Π. ὑπερηδίστα, εἰ καὶ σοὶ παράδοξον τοῦτο δόξει. Σ. παράδοξον, εἰ γέρων τε, καὶ ἀσθενὴς, ἄτεκνός τε προσέτι, ἥδεσθαι τοῖς ἐν τῷ βίῳ ἐδύνασο. Π. τὸ μὲν πρῶτον ἅπαντα ἐδυνάμην. ἔτι καὶ παῖδες ὡραῖοι ἦσαν πολλοὶ, καὶ γυναῖκες ἁβρόταται, καὶ μύρα, καὶ οἶνος ἀνθοσμίας, καὶ τράπεζαι ὑπὲρ τὰς ἐν Σικελίᾳ. Σ. καινὰ ταῦτα. ἐγὼ γάρ σε πάνυ φειδόμενον ἠπιστάμην. Π. ἀλλ' ὑπέρρει μοι ὦ γεννάιε παρ' ἄλλων τἀγαθά. καὶ ἕωθεν μὲν εὐθὺς ἐπὶ θύρας ἐφοίτων μάλα πολλοί, μετὰ δὲ παντοῖά μοι δῶρα προσήετο ἁπανταχόθεν τῆς γῆς κάλλιστα. Σ. ἐτυράννησας ὦ Πολύστρατε μετ' ἐμέ; Π. οὐκ, ἀλλ' ἐραστὰς εἶχον μυρίους. Σ. ἐγέλασα. ἐραστὰς, σὺ τηλικοῦτος ὤν, ὀδόντας τέτταρας ἔχων; Π. νὴ Δία, τούς ἀρίστους γε τῶν ἐν τῇ πόλει, καὶ γέροντά με, καὶ φαλακρὸν, ὡς ὁρᾷς ὄντα, καὶ λημῶντα προσέτι,

ſcripſerit ſuo teſtamento, ignoro. Ceterꝫ ego ſubito e vita ſublatus ſuꝫ: tecto me oppmēte. & nūc Hermolaus poſſidet quę mea ſunt, quaſi lupus piſcis, hamū cum eſca pariter auellens. D. Nō ſolū hoc. ſed & teipꝫ piſcatorē ſiƀ abſtulit. Itaqꝫ technā iſtā ī caput tuo ſtruxeras. C. Appet ſic factū. d'ploro ioqꝫ iſtuc. (ū

Simyli. ac Polyſtrati. SIMYLVS.

Veniſti tandē Polyſtrate & tu ad nos: ānos (ut puto) haud multo pauciores centum quū vixeris. P. Octo ſupra nonaginta, Simyle. S. Quinam poſt me vixiſti triginta annos? Ego em̄ fere te ſeptuagenario exn̄te, perij. P. qꝫ ſuauiſſie, & ſi tibi inopinatū hoc eſſe videat. S. Inopinatū certe: ſi vetulo tibi, īualido qꝫ, inſuper & orbo, iucundū eſſe quicqꝫ in vita potuerit. P. Principio omnia poteram. Deniqꝫ & pueri formoſi aderant multi, tum mulieres nitidiſſimę, ungenta, vinum fragrans, menſę poſtremo lautiores Siculis. S. Noua hęc ſunt. nam ego te apprime parcum credebam. P. At ſcatebant mihi vir pręclare, ex alijs opes. Tum diluculo protinus ad fores meas veniebāt qꝫ plurimi: ſimulqꝫ ex oīm rerꝫ genere mihi dona afferebāt, quę ubiuis terrarꝫ habent̄ pulcherrima. S. Nū regnū geſſiſti Polyſtrate poſt me? P. Mīe. ſed amantes habui īnūeros. S. Nō poſſū nō ridere. Tu ne amātes? tātus natu quū eſſes: dētes. ꝯ. vix hn̄s. P. optīates eorꝫ hēbā q fuert̄ ī cītate: etiā ſenex, (ꝑ Iouē, caluus, ut vides, & inſuper lippiens,

καὶ κορυζῶντα, ὑπερήδοντο θεραπεύοντες· καὶ μακάριος ἦμ αὐτῶν, ὅντινα ἂμ καὶ μόνομ προσέβλεψα. Σ. μῶμ καὶ σύ τινα ὥσπερ ὁ φάωμ τὴμ Ἀφροδίτημ ἐκ χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκε νέομ εἶναι, καὶ καλὸμ ἐξ ὑπαρχῆς, καὶ ἀξιέραστομ; Π. οὐκ· ἀλλὰ τοιοῦτος ὤμ, περιπόθητος ἦν. Σ. αἰνίγματα λέγεις. Π. καὶ μὴμ πρόδηλός γε ὁ ἔρως οὑτοσὶ πολὺς ὤμ, ὁ περὶ τοὺς ἀτέκνους καὶ πλουσίους γέροντας. Σ. νῦμ μανθάνω σου τὸ κάλλος ὦ θαυμάσιε, ὅτι παρὰ τῆς χρυσῆς Ἀφροδίτης ἦμ. Π. ἀτὰρ ὦ σίμυλε, οὐκ ὀλίγα τῶμ ἐραστῶμ ἀπολέλαυκα, μονονουχὶ προσκυνούμενος ὑπ' αὐτῶμ· καὶ ἐθρυπτόμημ δὲ πολλάκις, καὶ ἀπέκλειομ αὐτῶμ τινὰς ἐνίοτε· οἱ δὲ ἡμιλλῶντο, καὶ ἀλλήλους ὑπερεβάλλοντο ἐμ τῇ περὶ ἐμὲ φιλοτιμίᾳ. Σ. τέλος δ' οὖμ, πῶς ἐβουλεύσω περὶ τῶμ κτημάτων; Π. ἐς τὸ φανερὸμ μὲμ ἕκαστόμ αὐτῶμ κληρονόμομ ἀπολιπεῖμ ἔφασκομ· ὁ δ' ἐπίστευέτε, καὶ κολακευτικώτερομ παρεσκεύαζεμ ἑαυτόμ, ἄλλας δὲ τὰς ἀληθεῖς διαθήκας· ἐκείνας ἔχωμ κατέλιπομ, οἰμώζειν ἅπασι φάσας. Σ. τίνα δ' αἱ τελευταῖαι κληρονόμομ ἔσχομ; ἦ πού τινὰ τῶμ ἀπὸ τοῦ γένους; Π. οὐ μὰ Δί', ἀλλὰ νεώνητόμ τινὰ τῶμ μειρακίωμ τῶμ ὡραίων φρύγα. Σ. ἀμφὶ τόσα ἔτη ὦ πολύστρατε; Π. σχεδὸμ ἀμφὶ τὰ εἴκοσοι. Σ. ἤδη μανθάνω ἅτινά σοι ἐκεῖνος ἐχαρίζετο. Π. πλὴμ ἀλλὰ πολὺ ἐκείνωμ ἀξιώτερος κληρονομεῖμ, εἰ καὶ βάρβαρος ἦμ καὶ ὄλεθρος· ὃμ ἤδη καὶ αὐτοὶ οἱ ἄριστοι θεραπεύουσιμ. ἐκεῖνος τοίνυμ ἐκληρονόμησέ μου, καὶ νῦμ ἐμ τοῖς εὐπατρίδαις ἀριθμεῖται, ὑπεξυρημένος μὲμ τὸ γένειομ καὶ βαρβαρίζωμ·

cęcutienſq;,ac naribus muccoſis,ĩſʒuiẽtes.deniq; btũs
erat ex ipſis quẽcũq; etiã ſolũ aſpexiſſeʒ. S. Nũq̃d
& tu quandã ut Phaon ille,Venerẽ ex Chio tranſ-
uexiſti:q̃ dein tibi optãti dederit ut iuuenis eẽs.ac for
denuo fieres/amabiliſq;? P. Haud q̃q;.ſʒ tal' (moſus
exñs,ut dixi,ſup̃ modũ amabil' erã. S. ænigmata nar
Atqui notiſſimus ẽ amor ille,in m'tis exñs, (ras. P.
orbos ac diuites ſenes. S. Nũc p̃mũ diſco un (erga
forma ꝑfecta fuerit vir egregie,nimirꝶ ab au (de tibi
re. P. verꝶ tñ Simyle,nõ modicas ab (rea illa Vene
utilitates tuli:ꝓpemodũ etiã adoratus ab (amãtibꝰ
Porro illudebã illis etiã ſępius,excludẽs nõnul- (ipis.
int'dũ.verꝶ illi tũ decertabãt: ac mutuo ſeſe (los eorꝶ
apud me q̃dã ambitiõe. S. tandẽ ꝟo de tu (p̃ferebãt
iſti facultatibus? P. In ꝓpatulo quidẽ (is q̃d ſtatu-
unũquẽq; ipoꝶ hęredẽ me relicturũ dicebã. q̃d ubi
crederent illi: obſequẽtiorẽ ſe quiſq; eorũ exhibebat.
alteras aũt veras teſtamẽti tabulas habens/illas reli-
qui:in quibus plorare oẽs iuſſi. S. Quẽ vero extre-
me pronunciabant? Num quempiam ex cognatis?
P. Non per Iouẽ,ſed nouitiũ quendã adoleſcẽtuloꝶ
formoſũ,phrygiũ. S. q̃t ꝓpemodũ ãnos agebat P.
P. Ferme viginti. S. Iam intelligo cu-
iuſmodi te ille obſeqiis demeruerit. P. Attñ m'tio il-
lis dignior qui hęres eſſet:etiã ſi barbarus erat ac ꝑdi-
tus:quem iã ipſi etiã optimates colunt captantes. Is
igitur hęres extitit mihi:& nunc inter patricios
numerat̃:ſubraſo mento,barbaroq; cultu ac lingua.

κόδρου δὲ εὐγενέστερος, καὶ νιρέως καλλίων, καὶ ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι. Σ. οὔ μοι μέλει, καὶ στρατηγησάτω τῆς ἑλλάδος, εἰ δοκεῖ, ἐκεῖνοι δὲ μὴ κληρονομείτωσαν μόνον.

κράτητος. καὶ διογένους. ΚΡΑΤΗΣ.

Μοίριχον τὸν πλούσιον ἐγίνωσκες ὦ διόγενες; τὸν πάνυ πλούσιον, τὸν ἐκ κορίνθου τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα. οὗ ἀνεψιὸς ἀριστέας πλούσιος καὶ αὐτὸς ὤν, τὸ ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν,

ἤμ' ἀνάειρ', ἢ ἐγὼ σέ. Δ.

τίνος ἕνεκα ὦ κράτης ἐθεράπευον ἀλλήλους; Κ. τοῦ κλήρου, ἕνεκα ἑκάτερος ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας ἐς τὸ φανερὸν ἐτίθεντο, ἀριστέαν μὲν ὁ μοίριχος εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων, μοίριχον δὲ ὁ ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. ταῦτα μὲν ἐγέγραπτο, οἱ δὲ ἐθεράπευον, ἀλλήλους ὑπερβαλλόμενοι τῇ κολακείᾳ, καὶ οἱ μάντεις, εἴτε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον, εἴτε ἀπὸ τῶν ὀνειράτων, ὥς γε χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ πύθιος αὐτὸς ἄρτι μὲν ἀριστεῖ παρεῖχε τὸ κράτος, ἄρτι δὲ μοιρίχῳ, καὶ τὰ τάλαντα ποτὲ μὲν ἐπὶ τοῦτον, νῦν δ' ἐκεῖνον ἔρρεπεν. Δ. τί οὖν πέρας ἐγένετο ὦ κράτης; ἀκοῦσαι γὰρ ἄξιον. Κ. ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας, οἱ δὲ κλῆροι ἐς εὐνόμιον καὶ θρασυκλέα περιῆλθον, ἄμφω συγγενεῖς ὄντας, οὐδὲ πώποτε προμαντευομένους, οὕτω γενέσθαι ταῦτα. διαπλέοντες γὰρ ἀπὸ σικυῶνος ἐς κίρραν, κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ ἰάπυγι, ἀνετράπησαν. Δ. εὖ ἐποίησαν. ἡμεῖς δὲ ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων.

quin Codro generosiorē, Nireo formosiorē, & Vlys-
se prudētiorē eū eē pdicāt. S. nō mihi admodū curę
etiā si imperet toti Græcię, ubi libeat, illi mō nō (est:
potiantur hęreditate.

Cratetis. & Diogenis. CRATES.

Mœrichum diuitem noueras ne Diogenes? qui ul
tra modū diues erat: ex Corītho pfectus/mltas naues
mercibꝫ possidēs: cuius ꝯsobrinus Aristeas (onustas
Homericū illud solebat in ore habere. (ipē qꝙ diues

Aut me confice: aut ego tete. D.

Cuius rei gratia Crates, captabant se mutuo? C.
Hęreditatis causa, utriqꝫ ęq̄les quū essent: & testamē
ta in publicū pposuerāt. Aristean quidē Mœrichus, si
prior moreretur/dn̄m reliquit reꝝ suaꝝ oīm. Mœ-
richū ṽo Aristeas, si pus decederet e vita ipā. Hęc siq-
cōscripta erāt. Illi ṽo captabāt se mutuo, alt̄ alteꝝ (dē
tēdēs adulatōe. Porō diuini siue ex astris (supare cō
coniectantes futuꝝ, siue ex somnijs: quemadmodum
Chaldei faciunt: quin & Pythius ipse nunc Ari-
stean fore victorē, nunc Mœrichū pnūciabat: et truti
na mō ad hunc, modo ad illū se īclinabat. D. qd igr̄
tādē euenit Crates? nā audire ē opepciū. C. Ambo
mortui sr̄ in una die. cęteꝝ hęr̄ditates ad Eunomiū &
thrasyclē deueneř̄t: ābos illi cognatos exn̄tes: ne unqꝫ
aliqd pdicētibꝫ diuinis/qꝫ vicꝫ fuťa eēnt talia. Nauigā
tes em̄ ex Sicyone Cirrham, in medio cursu vadum
ex obliquo incidentes, orto Iapyge eo depulsi sr̄. D.
Recte factū, nos ṽo aliqñ, dū in vita eramus, nihil ta-
le cogitabamus alt̄ de altero:

οὔτε πώποτε εὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρο-
νομήσαιμι τῆς βακτηρίας αὐτοῦ. εἶχεν δὲ πάνυ καρτε-
ρὰν ἐκ κοτίνου ποιησάμενος. οὔτε οἶμαι σὺ ὦ κράτης, ἐπε-
θύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα, καὶ
τὸν πίθον, καὶ τὴν πήραν, χοίνικας δύο θέρμων ἔχουσαν.

Κ. οὐδὲν γάρ μοι τούτων ἔδει, ἀλλ' οὐδὲ σοί ὦ Διό-
γενες. ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας.
καὶ ἐγὼ, σοῦ πολλῷ μείζω καὶ σεμνότερα τῆς περσῶν
ἀρχῆς. Δ. τίνα ταῦτα φής; Κ. σοφίαν,
αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν. Δ. νὴ Δία, μέμνη-
μαι τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρ' Ἀντισθέ-
νους, καὶ σοὶ ἔτι πλείω καταλιπών. Κ. ἀλλ' οἱ ἄλλοι
ἠμέλουν τῶν τοιούτων κτημάτων, καὶ οὐδεὶς ἐθεράπευεν
ἡμᾶς κληρονομήσειν προσδοκῶν, ἐς δὲ τὸ χρυσίον πάν-
τες ἔβλεπον. Δ. εἰκότως, οὐ γὰρ εἶχον ἔνθα δέξαιντο
τὰ τοιαῦτα παρ' ἡμῶν, διερρυηκότες ὑπὸ τρυφῆς, καθά-
περ τὰ σαθρὰ τῶν βαλαντίων. ὥστε εἴποτε καὶ ἐμβάλλει
τὶς ἐς αὐτοὺς ἢ σοφίαν, ἢ παρρησίαν, ἢ ἀλήθειαν, ἐξέπι-
πτεν εὐθὺς, καὶ διέρρει, τοῦ πυθμένος στέγειν οὐ δυναμέ-
νου. οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι
ἐς τὸν τετρυπημένον πίθον ἐπαντλοῦσαι. τὸ δὲ χρυσίον
ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον. Κ. οὐκοῦν
ἡμεῖς μὲν ἕξομεν κἀνταῦθα τὸν πλοῦτον, οἱ δὲ ὀβολὸν
ἥξουσι κομίζοντες, καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

Ἀλεξάνδρου. Ἀννίβου. Μίνωος. καὶ Σκηπίωνος.

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἐμὲ δεῖ προκεκρίσθαι σου ὦ λίβυ. ἀμείνων γάρ εἰμι.
ΑΝ. οὐ μὲν οὖν, ἀλλ' ἐμέ. ΑΛ. οὐκοῦν ὁ Μίνως δικασά-

neq̧ unq̧ optabã, Antisthenes ut moreret̃: quo hȩre-
ditate accederet mihi illius baculus. hũit vero egre gie
dũ, oleaginũ, a se factũ. Neq̧ opinor Crates, tu (vali-
derabas successionẽ me mortuo, rerꝝ mearꝝ: (desy-
dolij/ac perȩ, chœnices duas lupini habẽtis. (puta
C. Neq̧ eñ mihi his rebꝫ opus erat: sꝫ nec tibi Dio-
genes. q̃ eñ ad rẽ ptiebãt: q̃q̧ tu Antistheni succedẽs
& ego: tibi mlto potiora atq̧ splẽdidiora (accȩpisti:
ipiũ. D. q̃nã hȩc sit q̃ ais? C. sa- (sit, q̧ vl Persarꝝ
sufficiẽtiã, veritatẽ, fiduciã, & libertatẽ. (piẽtiã dico.
ni illarꝝ me fuisse successorẽ opuꝫ (D. p Iouẽ, memi-
nẽ: tibiq̧ etiã lõge maiores reliqsse. (post Antisthe-
aspnabant̃ hmõi possessiões: nec q̃sq̧ (C. verꝝtñ alij
nos ob spẽ potiũdȩ hȩr̃ditatis: sꝫ ad aurꝝ o (captabat
mnes intẽdebãt ocłos. D. haud iniuria. nõ eñ hũe-
hȩc a nobis tradita: rimosi ob deli- (rũt vbi adcipẽt
lut marcida receptacula. q̃ ppt̃ si qñ imittat (cias ve-
quis in eos sapiam/libertatẽ/aut veritatem: elabi-
tur protinus: atq̧ perstillat: fundo retinere nõ valen-
te. Cuiusmõi quiddã accidit Danai filiabus,
in pertusũ doliũ haustã aquã iportãtibꝫ: quũ tñ auruꝫ
dentibus ac unguibus / oĩq̧ conatu sꝫuarẽt. C. Igit̃
nos possidebimus etiã hic nr̃as opes: at illi obolum
veniẽtes portãt solũ, et hũc ne ultius q̃dẽ q̧ ad porti-
Alexãdri. Añibalis. Minois. Scipiõis. (torẽ.

ALEXANDER.

Me oportet prȩponi tibi Libice. melior eñ sum.
AN. Nõ equidẽ: sꝫ me. AL. Igitur Minos iudi-

